*Ἱκέτιδες Αἰςχύλου*

titulum tantum, neque argumentum nec dramatis personarum catalogum praebet M. argumenti fragmentum praebet P. Oxy. 2256. 3 (saec. II–III):

ἐπὶ ἀρ[
ἐνίκα [Αἰ]ςχύλο[ς Ἱκέτιςι Αἰγυπτίοις
Δαν[αΐ]ςι Ἀμυ[μώνηι ςατυρικῆι
δεύτ[ε]ρ[ο]ς Cοφοκλῆ[ς τρίτος
Μέςατος [[Ν.[.].[
[[Βάκχαις Κωφοῖ[ς
Ποι]μέςιν Κύκ.[
ςατυ(ρικῶι)

de quo fragmento consulendus imprimis A. F. Garvie, *Aeschylus' Supplices: play and trilogy*, 1969, I seqq.; Snell, *TrGF* I. 1971. 44.

1 ἐπὶ ἄρ[χοντος vel ἐπὶ Ἀρ[χεδημίδου suppl. Lobel 2 Ἱκ. Αἰγ. suppl. Snell 3 ςατ. suppl. Snell 5 Ν . . . / Βάκχαις Κωφοῖς deleta 7 Κύκλ[ωπι Lobel, Κύκν[ωι Pieraccioni

fabula acta ἐπὶ Ἀρχεδημίδου, 463 a.C., ut videtur

codex unicus M accedunt apographa:

Scur. = Scurialensis T I. 15, quem contulit H. Friis Johansen, *Gk. Rom. & Byz. Stud.*, 1968, 371 seqq.; de gemello codicis M pendere credit idem, mihi non persuasit.
Laur. = Laurentianus Marcianus 222
Bon. = Bononiensis 2271
Guelf. = Guelferbytanus Gudianus Graecus 88
Par. = Parisinus Graecus 2286

horum omnium lectiones potissimas eidem Friis Johansen debeo.



# ΙΚΕΤΙΔΕϹ

## ΧΟΡΟϹ

Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως
ςτόλον ἡμέτερον νάιον ἀρθέντ'
ἀπὸ προςτομίων λεπτοψαμάθων
Νείλου· Δίαν δὲ λιποῦςαι
χθόνα ςύγχορτον Cυρίαι φεύγομεν,
οὔτιν' ἐφ' αἵματι δημηλαςίαν
ψήφωι πόλεως γνωςθεῖςαι,
ἀλλ' αὐτογενῆ φυξανορίαν,
γάμον Αἰγύπτου παίδων ἀςεβῆ τ'
ὀνοταζόμεναι ⟨ ⟩.
Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος
καὶ ςταςίαρχος τάδε πεςςονομῶν
κύδιςτ' ἀχέων ἐπέκρανεν
φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον,
κέλςαι δ' Ἄργους γαῖαν, ὅθεν δὴ
γένος ἡμέτερον τῆς οἰςτροδόνου
βοὸς ἐξ ἐπαφῆς κἀξ ἐπιπνοίας
Διὸς εὐχόμενον τετέλεςται.
τίν' ἂν οὖν χώραν εὔφρονα μᾶλλον
τῆςδ' ἀφικοίμεθα
ςὺν τοῖςδ' ἱκετῶν ἐγχειριδίοις

2 ἀρθέντ' Turnebus: ἀρόεντ' M 3 λεπτοψαμάθων Pauw: λεπτομαθῶν M; τῶν λεπταμάθων Stanley 4 λειποῦςαι M 6 δημηλαςίαν Auratus: -ςίαι M 7 γνωςθεῖςαν M. Schmidt 8 αὐτογενῆ Turnebus, φυξανορίαν H. L. Ahrens: αὐτογένητον φυλαξάνοραν M (λα in ras.); φυξάνοραν M$^{γρ}$; vel fort. αὐτογενεῖ (Bamberger) φυξανορίαι (Hermann) 9–10 ἀςεβῆ 'ξονο- Tucker ⟨διάνοιαν⟩ suppl. Weil 13 ἐπέκρινεν Lobel 14 διὰ κῦμ' ἅλιον Hesych. s.v. ἀνέδην: διακυμ*αλέον (fort. διακυμβαλ-) M 15 κέλςαι Sophianus: κεαςαι M τ' Hermann 16 οἰςτροδόνου Turnebus: -δόμου M 17 ἐπι*νοίας M, eraso ut vid. π 19 τίν' ἂν οὖν Burges: τίνα*οὖν M

ἐριοστέπτοιϲι κλάδοιϲιν;
ὦ πόλιϲ, ὦ γῆ καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοὶ καὶ βαρυτίμουϲ
χθόνιοι θήκαϲ κατέχοντεϲ,
καὶ Ζεὺϲ ϲωτὴρ τρίτοϲ, οἰκοφύλαξ
ὁϲίων ἀνδρῶν, δέξαϲθ᾽ ἱκέτην
τὸν θηλυγενῆ ϲτόλον αἰδοίωι
πνεύματι χώραϲ· ἀρϲενοπληθῆ δ᾽
ἑϲμὸν ὑβριϲτὴν Αἰγυπτογενῆ,
πρὶν πόδα χέρϲωι τῆιδ᾽ ἐν ἀϲώδει
θεῖναι, ξὺν ὄχωι ταχυήρει
πέμψατε πόντονδ᾽· ἔνθα δὲ λαίλαπι
χειμωνοτύπωι βροντῆι ϲτεροπῆι τ᾽
ὀμβροφόροιϲίν τ᾽ ἀνέμοιϲ ἀγρίαϲ
ἁλὸϲ ἀντήϲαντεϲ ὄλοιντο,
πρίν ποτε λέκτρων ὧν θέμιϲ εἴργει
ϲφετεριξάμενοι πατραδέλφειαν
τήνδ᾽ ἀεκόντων ἐπιβῆναι.

νῦν δ᾽ ἐπικεκλομένα [ϲτρ. α
Δῖον πόρτιν, ὑπερπόντιον τιμάορ᾽, ἶνίν γ᾽
ἀνθονομούϲαϲ προγόνου βοὸϲ ἐξ ἐπιπνοίαϲ
Ζηνόϲ· ἔφαψιν ἐπωνυμίαν δ᾽ ἐπεκραίνετο μόρϲιμοϲ αἰὼν
εὐλόχωϲ, Ἔπαφον δ᾽ ἐγένναϲεν·

22 ἐριο- Auratus: ἱερο- M 23 ὦ . . . ὦ Robortello: ὧν . . . ὧν M 24 -τίμουϲ Enger: -τιμοι M 26 Ζεῦ Scur. 27 δέξαϲθ᾽ Heath: δέξαιθ᾽ M et MΣ; δέξαιϲθ᾽ Pauw 38 ϲφετεριξάμενοι Casaubon: -νον M -δελφίαν M 39 ἀκόντων Hermann 40 ἐπικεκλομένα Turnebus: -ναι M et MΣ 41 seqq. ἶνίν γ᾽ Page: ἶνίν τ᾽ M; vulgo τ᾽ delent, sed synaphaeam demonstrat v. 50 τῶν / πρόϲθε ἀνθονομούϲαϲ Porson: -νόμουϲ τᾶϲ M^ac, -νόμου τᾶϲ M^pc; ἀνθονόμον τᾶϲ Tucker ἐπιπνοίαϲ Robortello: -πνοίαιϲ M 45 seqq. ἔφαψιν ἐπωνυμίαν δ᾽ Schoemann: ἔφαψιν· ἐπωνυμίαι δ᾽ M; ἐπικραίνομαι accus. regit sicut *Eum.* 969; 'contrectationem, cui nomen debuit, facili partu explevit fatalis dies' (μ. αἰὼν sicut Pind. *O.* 2. 11) εὐλόχωϲ Page: -λόγωϲ M δ᾽ ἐγέννακεν· ὅν τ᾽ Porson (τ᾽ ἐγ-): δὲ ἐγέννακε / ὀντ᾽ ut vid. M^ac, δ᾽ ἐγέννακ ἐ/ὀντ᾽ ut vid. M^pc





ὅν τ᾽ ἐπιλεξαμένα
νῦν ἐν ποιονόμοιϲ ματρὸϲ ἀρχαίαϲ τόποιϲ τῶν [ἀντ. α
πρόϲθε πόνων μναϲαμένα, τάδε νῦν ἐπιδείξω
πιϲτὰ τεκμήρια, γαιονόμοιϲι δ᾽ ἄελπτά περ ὄντα φανεῖται·
γνώϲεται δὲ λόγου τιϲ ἐν μάκει.

εἰ δὲ κυρεῖ τιϲ πέλαϲ οἰωνοπόλων
ἔγγαιοϲ οἶκτον ἀίων, [ϲτρ. β
δοξάϲει τιν᾽ ἀκούειν ὄπα τᾶϲ Τηρεΐαϲ
†μήτιδοϲ† οἰκτρᾶϲ ἀλόχου,
κιρκηλάτου γ᾽ ἀηδόνοϲ,

ἅ τ᾽ ἀπὸ χώρων ποταμῶν τ᾽ ἐργομένα [ἀντ. β
πενθεῖ μὲν οἶκτον ἠθέων,
ξυντίθηϲι δὲ παιδὸϲ μόρον, ὡϲ αὐτοφόνωϲ
ὤλετο πρὸϲ χειρὸϲ ἔθεν
δυϲμάτοροϲ κότου τυχών·

τὼϲ καὶ ἐγὼ φιλόδυρτοϲ Ἰαονίοιϲι νομοῖϲι [ϲτρ. γ
δάπτω τὰν ἁπαλὰν Νειλοθερῆ παρειὰν
ἀπειρόδακρύν τε καρδίαν,
γοεδνὰ δ᾽ ἀνθεμίζομαι
δειμαίνουϲα, φίλοϲ τᾶϲδε φυγᾶϲ
Ἀερίαϲ ἀπὸ γᾶϲ
εἴ τιϲ ἐϲτὶ κηδεμών.

51 seqq. τάδε Page: τά τε M γαιονόμοιϲι δ᾽ Hermann (quamvis γαιαν- exspectasses): τά τ᾽ ἀνόμοια οἶδ᾽ M; γαιονόμοιϲ, τὰ δ᾽ Paley 56 λόγου Martin: -γουϲ M 59 οἶκτον Schwenk: οἶκτον οἰκτρὸν M 60 τιν᾽ I. Pearson: τιϲ M ἀκούειν Casaubon: ἀκούων M 61 voc. μήτιδοϲ sensum constructionemque explanare nemini contigit; fort. τᾶϲ Τηρέι δυϲμήτιδοϲ 62 γ᾽ Stanley: τ᾽ M ἀηδόνοϲ Turnebus: -ονῆϲ M 63–4 cum non possit Procne ἀπὸ χώρων ποταμῶν τε generatim excludi, necessariam definitionem addit ἠθέων: a rure fluminibusque exclusa, de locis (illis) familiaribus lamentationem edit εἰργομένα Victorius 64 μὲν Haecker: νέον M 66 ἔθεν Porson: ἕο ἐν M 69 -δυρτοϲ Heath: -δύρτοιϲ M νομοῖϲι hoc accentu Whittle 70 εἱλοθερῆ Bothe 71 seqq. κάρζαν Dindorf; cf. 799, *ScT* 289 φίλοϲ Enger: φίλουϲ M^s, φόλουϲ M; ἀφίλου Weil

ἀλλὰ θεοὶ γενέται κλύετ' εὖ τὸ δίκαιον ἰδόντες [ἀντ. γ
†ἥβαι μὴ τέλεον† δόντες ἔχειν παρ' αἶϲαν,
ὕβριν δ' ἐτύμωϲ ϲτυγοῦντεϲ
πέλοιτ' ἂν ἔνδικοι γάμοιϲ.
ἔϲτιν κἀκ πολέμου τειρομένοιϲ
βωμὸϲ ἀρῆϲ φυγάϲιν
ῥῦμα, δαιμόνων ϲέβαϲ.

εἴθ' εἴη 'κ Διὸϲ εὖ παναληθῶϲ· [ϲτρ. δ
Διὸϲ ἵμεροϲ οὐκ εὐθήρατοϲ ἐτύχθη·
δαυλοὶ γὰρ πραπίδων
δάϲκιοί τε τείνουϲιν πόροι κατιδεῖν ἄφραϲτοι.

πίπτει δ' ἀϲφαλὲϲ οὐδ' ἐπὶ νώτωι, [ἀντ. δ
κορυφᾶι Διὸϲ εἰ κρανθῆι πρᾶγμα τέλειον·
πανταῖ τοι φλεγέθει
κἀν ϲκότωι μελαίναι ξὺν τύχαι μερόπεϲϲι λαοῖϲ.

ἰάπτει δ' ἐλπίδων
ἀφ' ὑψιπύργων πανώλειϲ βροτούϲ, [ϲτρ. ε
βίαν δ' οὔτιν' ἐξοπλίζει.
πᾶν ἄπονον δαιμονίων·
ἥμενοϲ ὃν φρόνημά πωϲ
αὐτόθεν ἐξέπραξεν ἔμ-
πας ἑδράνων ἀφ' ἁγνῶν.

77 θεοὶ Pauw: θεοὶ οἱ M 80 τῆνδε $M^s$ marg., quod ad ἥβαι refertur; veri sim. igitur ἥβαν (Schütz; 'nos iuvenes'), sed remanebit τέλεον ineptum (τελέοιϲ Scheer) 81 ἐτύμωϲ Arnaldus: ἑτοίμωϲ M στυγοῦντεϲ Turnebus: -γόντεϲ M 82 verba ἔνδικοι γάμοιϲ suspecta; ἐπὶ τοῖϲ νενομιϲμένοιϲ καὶ δόξαϲιν ἡμῖν $M^{\Sigma}$, unde νόμοιϲ pro γάμοιϲ Hartung 83 ἔϲτιν Enger: ἐϲτὶ δὲ M πολέμου $M^{\Sigma}$ in lemmate: πτολ- M 84 ἀρῆϲ interpr. $M^{\Sigma}$ (βλάβηϲ): ἄρηϲ M 86 εἰθείη M 'κ Διὸϲ Heath: Διὸϲ M 88–90 δαυλοὶ—ἄφρ., 93–5 πανταῖ—λαοῖϲ inverso ordine habet M, transposuit Westphal 95 κατειδεῖν M 96 δ' ἐλπίδων Hermann: δὲ ἀπιδῶν M 100 πᾶν ἄπονον Wellauer: τὰν ἄποινον M δαιμόνιον Bothe 101 ἥμενοϲ ὃν Paley: ἥμενον ἄνω M 103 ἀφ' $M^{\Sigma(1)}$: ἐφ' M et $M^{\Sigma(2)}$





ἰδέϲθω δ' εἰϲ ὕβριν
βρότειον οἵαι νεάζει πυθμὴν [ἀντ. ε
δι' ἁμὸν γάμον τεθαλὼϲ
δυϲπαραβούλοιϲι φρεϲίν,
καὶ διάνοιαν μαινόλιν
κέντρον ἔχων ἄφυκτον, †ἄ-
ται δ' ἀπάται μεταγνούϲ†.

τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω
λιγέα βαρέα δακρυοπετῆ, [ϲτρ. ζ
ἰὴ ἰή, ἰηλέμοιϲιν ἐμπρεπῆ·
ζῶϲα γόοιϲ με τιμῶ.
ἱλέομαι μὲν Ἀπίαν βοῦνιν· [ἐφυμν. α
καρβᾶνα δ' αὐδὰν εὖ, γᾶ, κοννεῖϲ.
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι λινοϲινεῖ
Ϲιδονίαι καλύπτραι.

†θεοῖϲ δ' ἐναγέα τέλεα πελομένων καλῶϲ [ἀντ. ζ
ἐπίδρομ' ὁπόθι θάνατοϲ ἀπῆι†.
ἰὼ ἰώ, ἰὼ δυϲάγκριτοι πόνοι,
ποῖ τόδε κῦμ' ἀπάξει;

104 ἐϲ M 105 οἵαι Schütz: οἷα M 107 τεθαλὼϲ Bothe: τὸ θάλωϲ $M^{ac}$, τὸ θάλοϲ $M^{pc}$ 109 μαιν- $M^{\Sigma}$: μεν- M 110–11 ἄται (ι in ras.) M: ἄταν Guelf.; lectio et interpr. dubia; ἄταν ἀπάται μεταγνούϲ Enger, sed neque mutati animi neque fraus vel fallacia contextui congruunt; ἄταϲ ἀπάταν μεταλγοῦϲ Tucker 113 λέγω Casaubon: -γων M 115 -οιϲι ϲυμπρεπῆ vel -οιϲιν ἐμφερῆ Tucker, -οιϲιν ἐμπρεπὴϲ Meffert post ἐμπρεπῆ addit M θρεομένη μέλη, del. Porson 116 ζώϲατο οιϲ με τιμᾶι $M^s$ marg. 117–21 ἱλέομαι Turnebus: ἱλέωμαι hic et 129 M; ἱλεῦμαι Headlam καρβᾶν' αὐδὰν Hermann εὖ γᾶ κοννεῖϲ interpr. $M^{\Sigma}$ (γῆ νοεῖϲ): εὐακοννεῖϲ hic, εὐγακόννιϲ 130 M fort. πολλάκιϲ δ', ut quattuor cretici evadant λινοϲινεῖ Bücheler: λίνοιϲιν ἧι hic, αἴνοιϲιν ἢ 131 M Ϲινδον- utroque loco $M^{ac}$ 122 seq. θεοῖϲ . . . ἀπῆι: nec quid dicere velint in universum nec proprie quid significent ἐναγέα τέλεα et ἐπίδρομα intellego; corruptionis sedem, siquidem extat, non video; ὅπου δὲ θάνατοϲ ἀπῆι, ἐκεῖ τῶν ἀνθρώπων εὐπραγούντων τιμαὶ τοῖϲ θεοῖϲ ἐπιτρέχουϲιν. ἐναγέα δὲ ἐναγίϲματα $M^{\Sigma}$, incredibilia hariolatus ἐπιδρόμωπόθι M ἀπῆι $M^{\Sigma}$: ὅπηι M; ἐπῆι Meineke

ἰλέομαι μὲν Ἀπίαν βοῦνιν· [ἐφυμν. α
καρβᾶνα δ' αὐδὰν εὖ, γᾶ, κοννεῖϲ.
πολλάκι δ' ἐμπίτνω ξὺν λακίδι λινοϲινεῖ
Ϲιδονίαι καλύπτραι.

πλάτα μὲν οὖν λινορραφήϲ [ϲτρ. η
τε δόμοϲ ἅλα ϲτέγων δορὸϲ
ἀχείματόν μ' ἔπεμπε ϲὺν πνοαῖϲ, οὐδὲ μέμφομαι·
τελευτὰϲ δ' ἐν χρόνωι πατὴρ ὁ παντόπταϲ
πρευμενεῖϲ κτίϲειεν·
ϲπέρμα ϲεμνᾶϲ μέγα ματρὸϲ εὐνᾶϲ [ἐφυμν. β
ἀνδρῶν, ἒ ἔ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.

θέλουϲα δ' αὖ θέλουϲαν ἁ- [ἀντ. η
γνά μ' ἐπιδέτω Διὸϲ κόρα
ἔχουϲα ϲέμν' †ἐνώπι' ἀϲφαλέϲ†, παντὶ δὲ ϲθένει
διωγμοῖϲ ἀϲχαλῶϲ' ἄδμητοϲ ἀδμήται
ῥύϲιοϲ γενέϲθω·
ϲπέρμα ϲεμνᾶϲ μέγα ματρὸϲ εὐνᾶϲ [ἐφυμν. β
ἀνδρῶν, ἒ ἔ,
ἄγαμον ἀδάματον ἐκφυγεῖν.

εἰ δὲ μή, μελανθὲϲ [ϲτρ. θ
ἠλιόκτυπον γένοϲ
τὸν γάιον,
τὸν πολυξενώτατον
Ζῆνα τῶν κεκμηκότων

129–32 vid. 117–21 136 ἀχίμ- M πνοαῖϲ Porson: πνοιαῖϲ M 142 ἀδάματον Bothe: -μαντον utroque loco M 146 seq. veri sim. ἐδώλι' (Tucker) ἀϲφαλῆ, = τὸν Ὄλυμπον, θεῶν ἕδοϲ ἀϲφαλὲϲ αἰεί; ἐνώπια si retines, nomen loci vel templi supplere debebis ϲθένει Casaubon: ϲθένοϲ M^ac, ϲθένουϲι M^pc 149 διωγμοῖϲ ἀϲχαλῶϲ' Hermann: -μοῖϲι δ' ἀϲφαλέαϲ M ἄδμητοϲ ἀδμήται Pauw: ἀδμήταϲ ἀδμήτα M; ἀδμῆτοϲ ἀδμῆτα Butler 151–2 vid. 142 154 δὲ M^Σ: δὴ M μελανθὲν Voss 155 ἠλιό- Wellauer: ἠδιό- M 156 γάιον Wellauer: ταιον M





ἱξόμεϲθα ϲὺν κλάδοιϲ
ἀρτάναιϲ θανοῦϲαι,
μὴ τυχοῦϲαι θεῶν Ὀλυμπίων.
ἆ Ζήν, Ἰοῦϲ † ἰὼ μῆνιϲ
μάϲτειρ' † ἐκ θεῶν. [ἐφυμν. γ
κοννῶ δ' ἄγαν
γαμετᾶϲ οὐρανόνικον·
χαλεποῦ γὰρ ἐκ πνεύματοϲ εἶϲι χειμών.

καὶ τότ' αὖ δικαίοιϲ [ἀντ. θ
Ζεὺϲ ἐνέξεται ψόγοιϲ,
τὸν τᾶϲ βοὸϲ
παῖδ' ἀτιμάϲαϲ, τὸν αὐ-
τόϲ ποτ' ἔκτιϲεν γόνωι,
νῦν ἔχων παλίντροπον
ὄψιν ἐν λιταῖϲιν·
ὑψόθεν δ' εὖ κλύοι καλούμενοϲ·
⟨ἆ Ζήν, Ἰοῦϲ † ἰὼ μῆνιϲ [ἐφυμν. γ
μάϲτειρ' † ἐκ θεῶν.
κοννῶ δ' ἄγαν
γαμετᾶϲ οὐρανόνικον·
χαλεποῦ γὰρ ἐκ πνεύματοϲ εἶϲι χειμών.⟩

ΔΑΝΑΟϹ

παῖδεϲ, φρονεῖν χρή· ξὺν φρονοῦντι δ' ἥκετε
πιϲτῶι γέροντι τῶιδε ναυκλήρωι πατρί.
καὶ τἀπὶ χέρϲου νῦν προμηθίαν λαβὼν

162–3 ἀζηνιουϲιω μῆνιϲ M; ὦ Ζεῦ ἡ παρὰ τῶν θεῶν μῆνιϲ κατὰ Ἰοῦϲ ⟨ἰ⟩ώδηϲ ἐϲτὶ καὶ μαϲτιγωτική M^Σ, unde μαϲτίκτειρ' coni. Abresch 164 ἄγαν Bamberger: ἄταν M 165 γαμετᾶϲ οὐρανόνικον Victorius: γαμετουρανόνεικον M; οὐρανονίκου Casaubon 168 αὖ Rogers: οὐ M 169 ἐνέξεται Porson: ἐνεύξ- M et M^Σ ψόγοιϲ Headlam: λόγοιϲ M 172 γόνωι suspectum; fort. = γένει 175 καλουμένας Dawe post h.v. ephymnium iteravit Canter 176 Δαναόϲ Scaliger, πρεϲβύτηϲ praefixit M ἥκετε Porson: ἵκετε M 178 λαβὼν Wordsworth: λαβεῖν M